λογία ἔχει χώραν, ἐπεὶ οὕτως ἀνῃρεῖτο ἡ πρόνοια καὶ οἱ νόμοι καὶ αἱ δίκαι· καί φησιν ὁ φιλόσοφος Ἀμμώνιος· ὅτι ἐγὼ οἶδα ἀνθρώπους τινάς, ὅσον κατὰ τὴν ἀστρολογίαν θέματα μοιχῶν ἔχοντας καὶ σωφρονοῦντας, περιγινομένου τοῦ αὐτοκινήτου τῆς ψυχῆς· πρὸς τὴν ἀξίαν οὖν ἑκάστου καὶ τὸν κλῆρον δοκεῖ εἶναί τι ἡ ἀστρολογία· ἐπεὶ εἰ αὐτοκινήτως τις ἐνεργήσει οὐδὲν ἐκ ταύτης ἀποβήσεται· καὶ ὁ Ἀριστοτέλης δὲ διὰ τοῦ εἰσφέρειν τὸ ἐνδεχόμενον ἀποσείεται αὐτήν, καὶ ὁ Πλωτῖνος δὲ ἐκ διαιρέσεως ἀναιρεῖ τὴν ἀστρολογίαν λέγων· ὅτι τὰ ἄστρα ἔμψυχά ἐστιν ἢ ἄψυχα· εἰ μὲν γὰρ ἄψυχα, ὅπερ οὐδέ ἐστιν, πῶς δύναταί τι ποιῆσαι ἀψύχως ἐνεργοῦντα, εἰ δὲ ἔμψυχά ἐστι καὶ θειοτέρως ἢ καθ' ἡμᾶς ἐνεργεῖ, πῶς τῷδε μέν τι πλοῦτον καὶ ἄλλα τινὰ χαρίζονται, τῷδε δὲ πενίαν καὶ ἄλλα ἀτυχήματα; δεῖ οὖν ὡς αὐτοκινήτους ἡμᾶς ἐνεργεῖν ὡς
6 εἰδότας, ὅτι ἐφ' ἡμῖν τοῦτο. ἐπειδὴ δὲ λέγει, ὅτι τῷ Προμηθεῖ ἐκέλευσεν παῦσαι τὴν πρόγνωσιν, εἴπωμεν καὶ τὴν ἐξήγησιν τοῦ ποιητικοῦ κατὰ τὸν Προμηθέα μύθου· Προμηθεύς ἐστιν ὁ ἔφορος τῆς καθόδου τῶν λογικῶν ψυχῶν· τοῦτο γὰρ ἔργον τῆς λογικῆς ψυχῆς τὸ προμηθεῖσθαι καὶ πρὸ ἄλλου ἑαυτὴν γινώσκειν· τὰ μὲν γὰρ ἄλογα πληττόμενα τῇ πληγῇ συναισθάνεται, ἐπεὶ πρὸ πληγῆς οὐδὲν γινώσκει· ἡ δὲ λογικὴ καὶ πρὸ ἄλλου δύναται ἐπιβάλλειν τοῖς χρηστοῖς· διὰ τοῦτο γ'οὖν καὶ ὁ Ἐπιμηθεὺς εἰς τὸν ἔφορον τῆς ἀλόγου ψυχῆς λαμβάνεται, ὅτι ἐπὶ τῇ πληγῇ γινώσκει καὶ οὐ πρὸ ταύτης. ἔστιν οὖν Προμηθεὺς μὲν ἡ δύναμις ἡ ἐφηστηκυῖα τῇ καθόδῳ τῶν λογικῶν ψυχῶν, πῦρ δέ ἐστιν ἡ λογικὴ αὕτη ψυχή, ἐπειδὴ ὥσπερ τοῦτο ἀνώφορόν ἐστι, οὕτως καὶ ἡ ψυχὴ τὰ ἄνω διώκει καὶ τούτων ἀνέχεται· διὰ τί δὲ λέγεται κεκλοφέναι τὸ πῦρ;

---

7 cf. Aristot. phys. II 2, 193 b 23; Simplic. in Aristot. phys. 290, 1 9 Plot. II 3 28 Hesiod. theog. 566; cf. Olympiod. in Plat. Phaed. *Βρξη'*

---

2 mg. *ση. τί φησὶν ὁ φιλόσοφος Ἀμμώνιος, ὅτι τὸ τῆς φυχῆς αὐτοκίνητον ὑπερισχύει τοῦ τῆς εἱμαρμένης νόμου* 15. 16 mg. *περὶ Προμηθέως καὶ Ἐπιμηθέως καὶ τῶν κατ' αὐτοὺς ἀλληγορία*

---

3 *ὅσον*] seq. ∸ in ras. 23 *τὸν*] -*ν* supr. add. M[c]

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/240 UNIVERSITÄT LEIPZIG